# ΚΤΙΤΟΡΙΚΗ ΕΠΙΓΡΑΦΗ ΕΚ ΔΟΛΩΝ

Εἰς τὸ χωρίον Κάτω Δολοὶ τοῦ τέως δήμου Ἀβίας τῆς ἐπαρχίας Οἰτύλου, καὶ εἰς τὴν εἴσοδον αὐτοῦ, εὑρίσκεται μικρὸς ναὸς τοῦ Ἁγίου Νικολάου, περικλειόμενος ἐντὸς τοῦ περιβόλου τοῦ παλαιοῦ πύργου τοῦ ἀγωνιστοῦ καὶ ἀξιωματικοῦ τῆς Φάλαγγος Γρηγορίου Κετσέα, τοῦ ἀνήκοντος σήμερον εἰς τὴν κυριότητα τοῦ ἐγγόνου του Γρηγορίου Καμαρινέα. Εἰς τὸ ὑπέρθυρον τῆς κυρίας θύρας τοῦ ναοῦ ἀναγινώσκεται ἡ ἑξῆς κτιτορικὴ ἐπιγραφή, ἡ ὁποία δημοσιεύεται ἐδῶ διορθουμένων μικρῶν τινων καὶ ἀσημάντων ἀνορθογραφιῶν:

*Ἀνηγέρθη ἐκ βάθρων γῆς καὶ ἀνιστορήθη οὗτος ὁ θεῖος καὶ πάνσεπτος ναὸς τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας τοῦ θαυματουργοῦ διὰ ἐξόδου καὶ κόπου τοῦ κτίτορος Χριστόδουλου Πλιβούρη εἰς βοήθειαν αὐτοῦ.*
*,αψπε´* (=1785) *Αὐγούστου 28. Διὰ χειρὸς Ἀναγνώστη Φιλιππάκη καὶ Ἀναγνώστη Καλλιεργάκη ἀπὸ Ἀνδρούβιστα καὶ Πραστίο καὶ Πούλου Δημαγγελέα Κουτούφαρι καὶ Ἀναγνώστη Πενταχωρέα.*

Ἡ Οἰκογένεια Πλιβούρη ὑφίσταται καὶ σήμερον εἰς τὸ γειτονικὸν χωρίον Βαρούσι. Οἱ ἐδῶ ἀναφερόμενοι ἁγιογράφοι εἶναι γνωστοὶ καὶ ἐξ ἄλλων παρομοίων ἐπιγραφῶν. Οἱ Ἀναγνώστης Φιλιππάκης καὶ Ἀναγνώστης Καλλιεργάκης ἐζωγράφησαν τὸ 1787 καὶ τὸν ναὸν τῆς Θεοτόκου εἰς τὸ κάστρον τῆς Ζαρνάτας[1]. Ἀνδρούβιστα καὶ Πραστίο εἶναι χωρία τοῦ τέως δήμου Καρδαμύλης. Κουτούφαρη (Κουτήφαρη) εἶναι χωρίον τοῦ τέως δήμου Λεύκτρου, γνωστὸν διὰ τὴν κατ᾽ ἐξοχὴν ἐν αὐτῷ παλαιότερα καλλιεργουμένην ἁγιογραφικὴν τέχνην. *Πενταχωρέας* εἶναι ἐκ τοῦ *Πενταχώρης*, παλαιοῦ οἰκογενειακοῦ ὀνόματος ἐν Λακωνίᾳ καὶ Μεσσηνίᾳ (πρβλ. τὸ ἐν Καλαμάτᾳ *πηγάδι τοῦ Πενταχώρη*). Εἶναι περίεργον ὅτι ἐκ τῶν ἀναφερομένων τεσσάρων ἁγιογράφων οἱ τρεῖς φέρουν τὸ ὄνομα Ἀναγνώστης. Τοῦτο δὲν εἶναι βαπτιστικόν, ἀλλὰ δηλοῖ τίτλον ἐκκλησιαστικόν. Φαίνεται ὅτι οἱ ἁγιογράφοι, ἀσκοῦντες ἔργον ἱερόν, ἐπροθυμοποιοῦντο νὰ περιβληθοῦν τὸ ἐκκλησιαστικὸν τοῦτο ἀξίωμα, τὸ ὁποῖον ἦτο τὸ κατώτατον καὶ παρείχετο ἄνευ δυσκολίας ὑπὸ τῶν ἀρχιερέων. Οἱ ἀναγνῶσται ἐβοήθουν τοὺς ἱερεῖς εἰς τὴν λειτουργίαν ψάλλοντες καὶ ἀναγινώσκοντες, ἔτρεφον δὲ παλαιότερα συνήθως κόμην, καίτοι μένοντες λαϊκοὶ κατὰ τὰ ἄλλα καὶ κατὰ τὴν περιβολήν.

Σ. Β. ΚΟΥΓΕΑΣ

[1] Ἴδε «*Ἑλληνικὰ*» τόμ. ς´ (1933) σελ. 288.

# Η ΠΑΡΑΙΤΗΣΙΣ ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΜΟΥΖΑΛΩΝΟΣ ΑΠΟ ΤΗΣ ΑΡΧΙΕΠΙΣΚΟΠΗΣ ΚΥΠΡΟΥ

## ΑΝΕΚΔΟΤΟΝ ΑΠΟΛΟΓΗΤΙΚΟΝ ΠΟΙΗΜΑ *

### Α´.

Ὑπὸ τὸ ὄνομα Νικόλαος Δ´ εἶναι γνωστὸς Πατριάρχης Κωνσταντινουπόλεως, ἀνελθὼν εἰς τὸν οἰκουμενικὸν θρόνον ἐπὶ Μανουὴλ Κομνηνοῦ μεταξὺ τῶν ἐτῶν 1147 - 1151. Ἀνήκων εἰς γνωστὴν οἰκογένειαν τοῦ Βυζαντίου, ἡ ὁποία διεκρίθη μετὰ ἕνα κυρίως αἰῶνα ἐπὶ τῆς δυναστείας τῶν Λασκάριδων, εἶχε χρηματίσει τριάκοντα ἑπτὰ ἔτη πρότερον Ἀρχιεπίσκοπος Κύπρου, ἀναβιβασθεὶς εἰς τὸ ἀξίωμα τοῦτο ἀπὸ τὸν Αὐτοκράτορα Ἀλέξιον Α´ Κομνηνόν. Ἡ πατριαρχεία του δὲν ὑπῆρξε μακρά, διότι ἐξηναγκάσθη μετὰ τέσσαρα ἔτη καὶ ὀλίγους μῆνας νὰ παραιτηθῇ[1]. Ἀλλὰ καὶ ἡ ἐν Κύπρῳ ποιμαντορία του ὀλίγον διήρκεσε· διότι μὴ δυνάμενος ν᾽ ἀνεχθῇ τὴν κρατοῦσαν τότε ἐν Κύπρῳ κακοδιοίκησιν καὶ τοῦ ἐκεῖ κλήρου τὴν κατάπτωσιν, μὴ εὑρίσκων δὲ καὶ ἀπὸ τὸν διοικοῦντα τὴν νῆσον τὴν ἐνίσχυσιν, τὴν ὁποίαν ἐχρειάζετο, διὰ νὰ φέρῃ βελτίωσιν εἰς τὰ πράγματα, παρῃτήθη τοῦ ἀξιώματός του μετὰ χρόνον ὄχι μακρόν.

Τὰς ἀφορμὰς καὶ ὅλα τὰ σχετικὰ πρὸς τὴν παραίτησίν του ἀπὸ τὸ ἀρχιεπισκοπικὸν ἀξίωμα ἐκθέτει εἰς μακρὸν ποίημα ἐκ 1057 ἰαμβικῶν τριμέτρων, τὸ ὁποῖον διὰ πρώτην φορὰν ἐκδίδω.

Τὸ ποίημα διεσώθη εἰς τὸν ὑπ᾽ ἀριθμὸν 383 Βατικανὸν Παλατινὸν κώδικα τοῦ 13ου αἰῶνος. Κατὰ τὴν λεπτομερῆ περιγραφὴν τοῦ *H. Stevenson*[2], ὁ κῶδιξ οὗτος περιλαμβάνει ἐκτὸς τοῦ ἡμετέρου ποιήματος τὰ ἑξῆς: 1) Χριστιανικὰ ἀποφθέγματα 2) ἑπτὰ ἔργα τοῦ Μιχαὴλ Ψελλοῦ

* Εἰς τὸ ποίημα τοῦτο διὰ πρώτην φορὰν ἐπέσυρε τὴν προσοχήν ὁ σεβαστός καθηγητής μου κ. *Ἰ. Συκουτρῆς* (Ἐπετ. Βυζ. Σπουδ. 1932 σελ. 202 σημ. 3). Μὲ τὴν βοήθειαν καὶ τὰς ὁδηγίας του συνετάχθη εἰς τὸ ἰδιαίτερον φροντιστήριόν του ἡ παροῦσα μελέτη. Τοῦ ἐκφράζω καὶ ἐδῶ τὰς θερμὰς εὐχαριστίας μου.

[1] Περὶ τοῦ ζητήματος τούτου καὶ γενικῶς περὶ τῆς πατριαρχείας τοῦ Μουζάλωνος πραγματεύεται διὰ μακρῶν ἡ *Ἡρὼ Κορμπέτη* εἰς προσεχῶς δημοσιευθησομένην μελέτην της περὶ ἀνεκδότου ἐγκωμίου εἰς τὸν Μουζάλωνα ὑπὸ ἀγνώστου ῥήτορος.

[2] Codices manuscripti Palatini Graeci. Roma 1885 σελ. 344. Ἔχω νὰ παρατηρήσω, ὅτι ὁ *Stevenson* ἐσφάλη κατὰ τὴν ἀρίθμησιν τῶν στίχων· διότι ἀναφέρει 892, ἐνῷ πράγματι εἶναι 1057.

3) τὴν ἐκκλησιαστικὴν ἱστορίαν τοῦ Θεοδωρήτου. Τὸ ἡμέτερον ποίημα ἔρχεται δεύτερον κατὰ σειρὰν καὶ περιέχεται εἰς τὰ φύλλα 39ʳ-58ᵛ, τῶν ὁποίων ἐπρομηθεύθην τὰς φωτογραφίας.

Τὸ χειρόγραφον εἶναι εὐανάγνωστον, εἰς ὡραίαν στρογγύλην γραφήν, ἄνευ βραχυγραφιῶν καὶ ἐπιτμήσεων, πλὴν τῶν συνηθεστάτων, ὡς π. χ. $\overline{χς}$ = Χριστός, $\overline{οὐνὸς}$ = οὐρανός, $\overline{θς}$ = Θεός, $\overline{πρ}$ = πατήρ, $\overline{ἴλ}$ = Ἰσραὴλ κλπ· τὰ ὀρθογραφικὰ σφάλματα εἶναι σχετικῶς σπάνια, χωρὶς ὅμως καὶ νὰ λείπουν τελείως. Ὁ βιβλιογράφος συγχέει τὸ *η* μὲ τὸ *ει* στ. 74 *δηλὸς* ἀντὶ *δειλός*, στ. 98 *κήρειν* ἀντὶ *κείρειν*, ἐνίοτε δὲ τὰ συγχέει καὶ εἰς τὰς ῥηματικὰς καταλήξεις, ὅπως π. χ. στ. 352 *ζεῖν* ἀντὶ *ζῆν*, 917 *γνωρίση* ἀντὶ *γνωρίσει* κλπ.· τὸ *η* μὲ τὸ *ι*, π. χ. 477 *ὁπλήσας* ἀντὶ *ὁπλίσας*, 822 *φημοῦντα* ἀντὶ *φιμοῦντα*· τὸ *ο* μὲ τὸ *ω*, π. χ. 23 *δομάτων* ἀντὶ *δωμάτων*, 1008 *ἐξοργισμένον* ἀντὶ *ἐξωργισμένον*· τὸ *η* μὲ τὸ *υ*, π. χ. στ. 566 *πρέσβην* ἀντὶ *πρέσβυν*. Ἐπίσης συγχέει τὸ *αι* μὲ τὸ *ε*, π. χ. στ. 81 *ὕπεθρον* ἀντὶ *ὕπαιθρον*. Σφάλλεται ὡς πρὸς τὴν χρῆσιν τῶν δύο συμφώνων, π. χ. 60 *παραλάττουσι* ἀντὶ *παραλλάττουσι*, 62 *παρεξηλαγμένον* ἀντὶ *παρεξηλλαγμένον*. Ὀλίγα εἶναι τὰ λάθη του εἰς τοὺς τόνους, π. χ. θέτει ὀξεῖαν ἀντὶ περισπωμένης στ. 643 *κατηφιὰν* ἀντὶ *κατηφιᾶν*, 778 *φθορὰ* ἀντὶ *φθορᾷ*, ἢ ἀντιστρόφως 753 *κῦνας* ἀντὶ *κύνας*.

Ὡς πρὸς τὰς ἄλλας γραφικὰς τοῦ συνηθείας ἔχω νὰ παρατηρήσω: 1) ὅτι δὲν θέτει τὸ ὑπογεγραμμένον ἰῶτα. 2) ὅτι τονίζει τὰ μόρια *γε*, *τε*. 3) ὅτι δὲν ἀφομοιώνει πάντοτε τὸ *ν* τῶν προθέσεων πρὸς τὸ ἑπόμενον χειλικόν, π. χ. στ. 391 *συνπαρηδρίαζε* ἀντὶ *συμπαρηδρίαζε*. 4) ὅτι χωρίζει λέξεις γραφομένας παρ' ἡμῖν εἰς μίαν, π. χ. 239 *οὐκ οὖν* ἀντὶ *οὐκοῦν*, 225 *γ' οὖν* ἀντὶ *γοῦν*, 313 *εἰς ἔτι* ἀντὶ *εἰσέτι*, 571 *μὴ δὲ* ἀντὶ *μηδὲ* κλπ.

Ὡς πρὸς τὴν στίξιν παρατηροῦμεν, ὅτι εἰς τὸ τέλος ἑκάστου στίχου θέτει μέσην στιγμήν. Δύο δὲ μόνον φορὰς ἔχει, εἰς τοὺς στίχους 444 καὶ 521, διακριτικόν τι σημεῖον πρὸς δήλωσιν μείζονος ὑποδιαιρέσεως τοῦ κειμένου.


## Β΄.

**Στίχοι Νικολάου μοναχοῦ τοῦ Μουζάλωνος, τοῦ γεγονότος ἀρχιεπισκόπου Κύπρου, ἐν τῇ παραιτήσει αὐτοῦ γενόμενοι.**

*Ὁ τῆς σιωπῆς τῆς ἐμῆς οὗτός λόγος·*
*φεύγων διώκτας ἐξανίσταμαι θρόνου.*
*Ἀεὶ μὲν ἐχρῆν ἐκδιδράσκειν ἐκ μέσου*
*καὶ λανθάνειν βιοῦντας ἐκτὸς πραγμάτων*
*ὅσους ἀπράγμων ἐξεπαίδευσε τρόπος*

4 *λάθε βιώσας* Paroem. Gr. II, 183





Πανομοιότυπον τοῦ ἡμετέρου κώδικος.

*καὶ τῶν λόγων ἤνδρωσεν ἡ σταθηρότης,*
*τὸν Ἰακὼβ ζηλοῦντας εἰς ἀπλαστίαν,*
*μονοτρόπων σπεύδοντας οἰκεῖν οἰκίαν,*
*θεῷ λαλοῦντας πλειστάκις καὶ ταῖς βίβλοις*
*καὶ φευκτέαν κρίνοντας Ἠσαῦ τὴν πλάνην,*
*ζώων κατατρέχοντος ἠγριωμένων*
*βροτοῖς τε συντρέχοντος ἠγροικισμένοις.*
*οὐ γάρ τι χρηστὸν ἐν μέσῳ τῶν πραγμάτων,*
*ὅπου φθόνος κότος τε, πᾶν κηρῶν ἔθνος,*
*ἄτης τε λειμὼν καὶ θάλασσα πικρίας*
*καὶ τοῦ νοὸς ζόφωσις ἐξ ἀθυμίας.*
*εἰ δ᾽ εἰς ἀεὶ προσῆκε φεύγειν ἐκ μέσου,*
*πόρρω Διός τε καὶ κεραυνοῦ διάγειν,*
*τὸν ἀκλεῆ βιοῦντας εὐκλεῶς βίον,*
*τίς οὐκ ἂν ἄρτι συγκαλυφθείη σκότῳ*
*καὶ παρεδρεύσοι τῇ σκιᾷ τοῦ θανάτου,*
*ὡς σκύμνος οἰκῶν ἐν τόποις ἀποκρύφοις*
*ἢ στρουθὸς ἐντὸς ἐμμονάζων δωμάτων,*
*ὅπως φύγῃ δίκτυον ἰταβυρίου*
*τοῖς ἐν μέσῳ τρέχουσιν ἐκτεταμένον;*
*τίς οὐ κάλυμμα τῷ προσώπῳ προσλάβοι,*
*οὐχ ὡς κατελθὼν ἐξ ὄρους θεοπτίας*
*καὶ μὴ φορητὸς ὀπτάνεσθαι τοῖς κάτω,*
*ἀλλ᾽ ὡς παρελθεῖν τοὺς παλαμναίους θέλων*
*λαθεῖν τε τοὺς χαίροντας ἁρπαγαῖς λύκους,*
*τοὺς κερβέρους ἄντικρυς ἀγρίους κύνας,*
*ἔφησε Παῦλος, τοὺς κακίστους ἐργάτας,*
*ἢ μᾶλλον εἰπεῖν τοὺς κακῶν ὑπηρέτας,*
*τοὺς τῇ καμίνῳ τοῦ Ναβουχοδονόσορ*
*ὕλας συνεισφέροντας ἐξ ἁρπαγμάτων;*
*ὃς βασιλεύων ἐν Βαβυλῶνος τόπῳ*
*ἐν τῷ καθ᾽ ἡμᾶς συγκεχυμένῳ βίῳ*
*καὶ χρυσολατρεῖν τοὺς ὑπηκόους θέλει,*
*χρυσὸν μὲν εἰσφέροντας ὡς χοῦν ἀφθόνως,*
*Χριστὸν δὲ μὴ φέροντας εἰς νοῦν ἀφρόνως.*
*ὁ μέν τίς ἐστιν εὐμαθὴς εἰς κακίαν,*

7 Gen. 25,27 **15** *ἄτης λόφος* Paroem. Gr. I,215 **18** Paroem. Gr. II, 620 **21** Job 12,22 et 28,3 **22** Ps. 16,12 **23** Ps. 83,4 **24** Osee 5,1 **26** Exod. 34,29-35 **32** Philipp. 3,2 **34** Daniel 3,1



*ὀξὺς μαθητὴς τοῦ κακοῦ διδασκάλου*
*ὅμοιος αὐτόχρημα τῷ διδασκάλῳ*
*(νικᾶν γὰρ αὐτὸν καὶ θέλων οὐκ ἰσχύει),*
*ἅπερ διδαχθεὶς ἔσχεν ἐν τῇ καρδίᾳ,*
*πολλοὺς διδάξας πράξεων αὐτουργίᾳ:*
*δράκων δαφοινὸς ἐκπνέων ὀλεθρίως.*
*ὁ δ᾽ εὐσεβὴς φεῦ! τὸν Σατὰν σέβων μόνον,*
*εἰ μὴ κατ᾽ ἀντίφρασιν οὕτω τις λέγει,*
*ἅρπαξ ἀναιδὴς ἰταμώτατος λέων,*
*ἢ μᾶλλον εἰπεῖν ποικίλος χαμαιλέων,*
*πᾶσαν μὲν ὡς εὔπρεπον ἀλλάσσων χρόαν,*
*μόνην δὲ λευκότητα μηδαμοῦ φέρων·*
*ἐπεὶ τὸ λευκὸν τῆς ἀληθείας τύπος,*
*ἧς αὐτὸς ἐχθρός, ὡς ὑποκρίσει φίλος,*
*ἐκκλησιῶν ὄλεθρος, ἃς τιμᾶν λέγει,*
*δοκῶν ἀπαρχὰς προσφέρειν καὶ θυσίας,*
*ἂν ἱεράρχας ἐκδύῃ καὶ κτιννύῃ.*
*οἱ δ᾽ ἐκμαγεῖα τῆς ἐκείνων κακίας,*
*εἰ καὶ παραλλάττουσιν ἧττον ἢ πλέον·*
*τὸν γὰρ πρὸς ἀκρίβειαν ἐμφερῆ τύπον*
*οὐκ ἔστιν εὑρεῖν μὴ παρεξηλλαγμένον.*
*μακάριος γοῦν ὃς λαθὼν διεκφύγῃ*
*δράκοντα καὶ λέοντα, δεινὰ θηρία,*
*καὶ τὰς ἐχίδνας, ὡς δὲ καὶ τοὺς σκορπίους,*
*τὰ μικρὰ καὶ βλάπτοντα λάθρα τοὺς πέλας,*
*ἃ καταπατεῖν ἀσθενεῖ καὶ συντρίβειν.*
*εἴ που δ᾽ ὑπερβαίη τις ἁλτικωτάτως*
*τὸν βασιλίσκον πρὸς δὲ καὶ τὴν ἀσπίδα,*
*καὶ στρουθίον γένοιτο φεύγων εἰς ὄρη*
*τὰς τῶν πονηρῶν ἐντάσεις τόξων βλέπων*
*καὶ τὰς φαρέτρας τῶν βελῶν πληρεστάτας,*
*φυγὰς μὲν οὗτος, ἀλλ᾽ ἔχει σωτηρίαν.*
*δειλὸς μαχητής, πλὴν νοῶν τὸ συμφέρον.*
*ἄδοξος, ἀλλ᾽ ἄτρωτος, ἐκτὸς ἀρκύων,*
*καὶ δόξαν αὐχῶν τὴν καλὴν ἀδοξίαν,*
*μέγιστον ὄλβον τὴν ἀνολβίαν κρίνων,*

**42** *κακοῦ διδασκάλου]* = diaboli **45** *διδάξας πολλοὺς αὐτουργίᾳ πράξεων ἃ διδαχθεὶς* (αὐτὸς) *ἔσχεν ἐν τῇ καρδίᾳ* **47** Hom. B 308 **64** Ps. 90,13 **69** Ps. 90,13 **70** Ps. 10,2

*ἁβρὰν τρυφήν τε τὴν μικρὰν τροφὴν μόνην·*
*στενούμενος μέν, οὐ φθονούμενος δ' ὅμως·*
*ῥακενδυτῶν μέν, ἀλλ' ἐλευθέρως τρέχων·*
*ὕπαιθρον οἰκῶν, ἀλλ' ἀθυμίας δίχα·*
*πεζῇ βαδίζων, ἀλλ' ἄνευ προσκομμάτων·*
*τῇ γῇ προσέρπων, τὸν δὲ κρημνὸν οὐ τρέμων·*
*πλέων ἀκερδῶς, τὴν ζάλην δ' ὑπερπλέων,*
*κέρδος φέρων πρώτιστον ἀβλαβὲς σκάφος.*
*Ταῦτα σκοπῶν ἔγωγε καὶ πρὸ τοῦ θρόνου*
*ἔγνων τυραννοῦν καὶ τυρεῦον, ὡς θέλει,*
*τὸ τοῦ πονηροῦ κοσμοκράτορος κράτος,*
*μᾶλλον κρατυνθὲν καὶ πλατυνθὲν ἀρτίως,*
*μαθὼν πρὸ πείρας ἐκ λαθῶν ἀλλοτρίων,*
*οἵας ἐπαφίησι τὰς καταιγίδας,*
*ὅσας διανίστησι τὰς τρικυμίας*
*τοῖς ἐν πλάτει πλέουσι τοῦ πλάνου βίου*
*τῶν ψυχολέθρων πνευμάτων ἡ σφοδρότης·*
*ὡς τοὺς κριτὰς κρίνουσιν ἄνδρες αἱμάτων*
*βόσκειν τε τὰ πρόβατα ποιμένας θέλει,*
*σφάττειν μὲν οὖν μάλιστα καὶ κατεσθίειν·*
*τὸ γὰρ ξύλοις παίειν τε καὶ κείρειν τρίχας*
*σύνηθες αὐτοῖς ἐστι παιγνίου μέρος*
*ἅπαξ ἀπορρίψασι τὸν θεῖον φόβον.*
*καίτοι γε Παῦλος τοῖχον ἐγκεχρωσμένον*
*τὸν ἱεράρχην καλέσας Ἀνανίαν*
*ἄθεσμα προστάξαντα καὶ πεπραχότα,*
*ὡς λοιδορήσας τοῦ θεοῦ θύτην ἔγνω*
*«Συγγνωμονεῖτε, φησίν, ἠγνοηκότι·*
*ἄρχοντας ὑβρίζειν γὰρ οὐκ ἐᾷ νόμος».*
*τὴν οὖν καθ' αὑτὸν εἰσελαύνειν εἱλόμην*
*βίβλοις τε συζῆν καὶ πτεροῦν τὸν νοῦν λόγοις,*
*τῶν ἐν μέσῳ δὲ πραγμάτων καὶ βρασμάτων*
*τὰς γλυκυπίκρους ἡδονὰς διαπτύειν*
*(ἀψινθίῳ γὰρ συμμεμιγμένον μέλι*
*πῶς ἄν τις εὐαίσθητος οὐκ ἀποπτύσῃ;),*

**95** Ps. 54,24 **101** Act. 23,2 **107** *τὴν κατὰ σαυτὸν ἔλα* Paroem. Gr. I,314 **111** *ἀψινθίῳ κατέπασας ἀττικὸν μέλι.* Etym. Mag. 183,25

**105** *συγγνωμόνει, τε* ? Sykutris **110** *γλυκοπίκρους* V : corr. Sykutris



*θρηνεῖν ἀφεῖναι τοὺς ποθοῦντας τοὺς θρόνους*
*κλαίειν τε πικρῶς τοὺς φιλοῦντας τὸ κλέος·*
*φέρειν ῥαπισμοὺς Ραββὶ τοὺς καλουμένους,*
*ταῖς ψευδοχρίστων χερσὶ μαστιγουμένους,*
*οὐ μισοχρίστων οὐδ' ἀπίστων εἰς ἅπαν,*
*ὅπερ παρηγόρημα τυγχάνει μέγα·*
*τέρψις γάρ ἐστιν ἡ Θεοῦ θλίψις χάριν,*
*ὡς προξενοῦσα τοῖς κεκαρτερηκόσι*
*μέγιστον ἀξίωμα τὴν μαρτυρίαν·*
*ἧς μὴ προσούσης εὐσεβῶν μαστιγίαις*
*ἀτιμία τίς ἐστιν ἡ τιμωρία,*
*στένωσις ἡ κάκωσις, οἱ πόνοι στόνοι.*
*Οὕτω φρονήσας ὀφρύων κατεφρόνουν,*
*τὸ τῆς ταπεινότητος ὕψος προκρίνων,*
*τὸ δ' ἐξ ἰταμότητος αἶσχος ἐκκλίνων,*
*τοὺς ἀντιπυκτεύοντας ὑψόθεν βλέπων,*
*ἑστὼς δὲ μακρὰν τραυμάτων καὶ σκεμμάτων.*
*σκοπὸς γὰρ ἦν ἄνωθεν ὡς ἐν ἰκρίῳ*
*ὁρῶν θαλάσσης κοσμικῆς τοὺς ἰχθύας*
*ἑκόντας ἐμπίπτοντας ἐντὸς δικτύων,*
*τοὺς ἱεράρχας ἀντιπαλαμωμένους*
*τοῖς παγκάκοις πράκτορσι καλαμωμένους*
*καὶ φατριάρχας (ὦ Τριάς!) καλουμένους,*
*ἀποστάτας φεῦ! τοὺς Θεοῦ παραστάτας·*
*καὶ τοὺς ματαιότητος ἐν συνεδρίῳ*
*καὶ λυμεώνων ἐν θρόνῳ καθημένους*
*παρεστάναι θέλοντας αὐτοῖς ἐν τρόμῳ*
*τοὺς τὸν θρόνον ἄνωθεν ἠξιωμένους,*
*ἢ μᾶλλον αὐτοὺς ὄντας ἐνθέους θρόνους,*
*ὡς πνεύματος γέμοντας ἁγιωτάτου*
*καὶ τῶν ἀνάγνων ἁγιαστικωτάτους*
*φωτιστικωτάτους τε τῶν ἐν τῷ σκότει.*
*εἶχον μὲν οὕτω καὶ συνέζων τοῖς λόγοις,*
*ὄγκου δὲ παντὸς ἠλόγουν πανευλόγως*
*καὶ τοῖς θέλουσι τῶν θρόνων ἐξιστάμην,*

**115** Luc. 22,64 **134** Jes. 3,12

**124** *στόνοι* (vel *φόνοι*) Sykutris : *πόνοι* V **137** *ματαιότητας* V : corr. Sykutris

*ἑκόντι προσχαίνουσι τῷ δελητίῳ*
*κἀντεῦθεν ἐμπίπτουσιν ἀγκιστριδίῳ,*
*θησαυρὸν εὑρίσκουσιν ἀνθράκων χύσιν*
*ἢ σκορπίους μάρπτουσιν ἀντὶ πιπόων,*
*θρῆνυν προτιμῶν ἢ μετὰ θρήνου θρόνον,*
*ὡς ἂν καθισθεὶς προσλαλῶ τοῖς βιβλίοις*
*καὶ συντρέχουσι συντελῶ λογεμπόροις,*
*ἢ καὶ παρεστὼς ἐν μέσαις ἐκκλησίαις*
*σωτηριώδεις ἐξερεύγωμαι λόγους·*
*ἦν γὰρ τὸ λειτούργημα τοῦτό μοι τότε,*
*ἐκκλησιάζειν ἐν χρόνοις ὡρισμένοις*
*καὶ νουθετεῖν τὰ τέκνα τῆς ἐκκλησίας*
*τρέφειν γραφαῖς τε τῆς ἐμῆς τροφοῦ βρέφη*
*ἐκ τῶν ἐκείνης λαμβάνοντι θυμάτων,*
*οὐκ ἐξ ἐμοῦ· καὶ τοῦτο τῶν θεοσδότων.*
*Ἐπεὶ δὲ (πῶς γράψαιμι τὴν τραγῳδίαν;)*
*ὁ μὲν πρόεδρος τοῦ θρόνου τῶν Κυπρίων*
*θανὼν ἀπῆλθεν ἐκ σκότους πρὸς ἡμέραν,*
*ἀνὴρ ἀρίστων ἀρετῶν θεῖος θρόνος*
*ληνοῖς προσαχθεὶς οὐρανῶν βότρυς κύπρις*
*(τὸ γὰρ Σολομώντειον εὐκαίρως ἔχει,*
*ἐξ ἀμπελώνων Γαδδὶ τετρυγημένος*
*πέπειρος ἐν καύσονι πειρατηρίων),*
*ἔδει δὲ Παύλου τὴν φυτείαν, ὡς λόγος,*
*τυχεῖν Ἀπολλὼ τοῦ ποτίζειν εἰδότος,*
*ὁ κλῆρος εἰσέπιπτεν εἰς τὸν Ματθίαν*
*καὶ προσκαλοῦμαι τοῖς κρατοῦσιν αὐτίκα*
*κροτοῦσιν ὡς ἔχουσι τὸ ζητητέον.*
*ἐγὼ δ᾽ ἐπιγνοὺς ὡς διώκομαι τάλας*
*δεινοῖς ἀγρευταῖς ἁλιεῦσι τεχνίταις,*
*τὸ σηπύας σόφισμα τεχνῶμαι σφίσι:*
*μελενδυτῶ τάχιστα, προστρέχω πέτρᾳ*
*(ἣ δ᾽ ἦν ὁ Χριστός, οὗ μονασταῖς προσμένω·*
*τοῖς γὰρ λαγωοῖς, φησίν, προσφυγὴ πέτρα)*
*καὶ τοὺς πλοκάμους κείρομαι τοῦ κρανίου,*

**150** *ἄνθρακες ὁ θησαυρὸς* Paroem. Gr. I, 32 **168** Cant. I, 14 **170** Gen. 40,10 **171** I Cor. 3,6 **172** Act. 18,24 **173** Act. 1,26 **181** Ps. 103,18

**172** *ποτίζειν* Sykutris coll. Pauli loco : *φωτίζειν* V



*ὡς πλεκτάναις ἥκιστα συμπλακῶ βίου,*
*ἅπαν περιττὸν ἐκφορήσας ἐμφρόνως,*
*γυμνῇ κεφαλῇ προσδραμὼν ἡσυχίᾳ.*
*οὐ δορκάδος γὰρ εἶχον ἅλμα καὶ δρόμον,*
*ὡς ἂν πρὸς ἀκρώρειαν ὑψηλὴν φθάσω·*
*περιστερᾶς πτέρυγας οὐδεὶς ἦν νέμων,*
*ὅπως πετασθεὶς καταπαύσω μακρόθεν,*
*ἥτις τὸ κοῦφον τῶν δικαίων μηνύει*
*σκιαγραφεῖ τε Πνεύματος θείου χάριν,*
*δι᾽ ἧς ὁ φεύγων μακρύνει τῶν φευκτέων.*
*οὐ προσδραμεῖν ἔσπευσα τῷ Σηγὼρ ὄρει,*
*οὐκ ἐγγιεῖν ὥρμησα τῷ Καρμηλίῳ,*
*οὐκ ἐγκρυβῆναι λάθρα τῷ Θαβωρίῳ·*
*τὸ γὰρ βάρος τῆς ἐμῆς ἁμαρτίας*
*πρὸς τὰς ἀνάντεις ἐμποδὼν ἦν μοι τρίβους.*
*ὅθεν κρυβεὶς ἔγγιστα μικρὸν εὑρέθην.*
*πλὴν οὐδ᾽ Ἰωνᾶς ὁ προφήτης ἀπέδρα·*
*καίτοι Θεοῦ στέλλοντος εἰς Νινευΐτας*
*θαρσαλέως ἔφευγε πρὸς τοὺς Θαρσίτας.*
*ὡς οὖν παρέστην συσχεθεὶς ὁ δραπέτης,*
*ὅσους μετῆλθε παρακλήσεως τρόπους,*
*ὅσους λόγους ἔλεξε προτρεπτηρίους*
*ὁ κλεινὸς Ἀλέξιος ὁ σκηπτροκράτωρ,*
*Ἀλέξιος τὸ θαῦμα τῶν βασιλέων!*
*ἀλλ᾽ ἀσπὶς ἦν ἔγωγε φράξας ὠτία,*
*μήπως ἐπῳδαῖς φαρμακεύσῃ ποικίλαις*
*ἀλεξιφαρμάκῳ με μὴ κεχρημένον,*
*τὸν κυκεῶνα τοῦ λόγου παρατρέχων,*
*ὡς ῥάβδον Ἑρμοῦ δεξιᾷ μὴ κατέχων,*
*μὴ μῶλυ θεῖον ἀντιφάρμακον φέρων,*
*μήτ᾽ οὖν πεποιθὼς δαφνίνῃ βακτηρίᾳ.*
*ὁ δ᾽ ἐξαναστὰς τοῦ βασιλείου θρόνου*
*πρὸς γῆν κάραν ἔκλινε τὴν στεφηφόρον.*
*δι᾽ ἧς ἐμὴ πέπτωκεν ἔνστασις τότε,*
*καὶ θάμβος εἶχε τοὺς παρόντας τῇ θέᾳ·*
*καὶ πάντες ἐξέστησαν οὐχὶ μετρίως*

**188** Ps. 54 (53), 7 **193** Gen. 19,30 **199** Jon. 1, 1-4 **210** Hom. κ 290 **211** ibidem 277 **212** ibidem 305 **213** *δαφνίνην φορῶ βακτηρίαν* Paroem. Gr. I, 61

μικροῦ Θεοῦ βλέποντες ἐξ ὕψους κλίσιν,
ἄνθρωπον εὐθύνουσαν εἰς ὕψος πάλιν,
βασιλέως κένωσιν ἐκ δόξης θρόνου
τὸν δραπέτην ἕλκοντος εἰς δόξαν θρόνου,
ἀδοξίᾳ φέροντος εἰς εὐδοξίαν
καὶ ποιμεναρχῶν ἀξιοῦντος ἀξίας.
τί γοῦν ἐχρῆν δρᾶσαί με; πῶς διαδράναι;
ὁρῶντα τὸν κρατοῦντα τῆς γῆς Αὐσόνων
κύπτοντα πρὸς γῆν ἐξορύξαι τειχίον
καὶ πύργον ἀκράδαντον ἐγκατασπάσαι
τὸν ἐπ' ἀκαμποῦς καρδίας ἡδρασμένον,
καὶ τοῦ Χαλάνης μᾶλλον ἠσφαλτωμένον,
παντὶ τρόπῳ σπεύδοντα δοῦναι τῷ Λόγῳ
τὴν Ἀγαμεμνόνειον ἡμᾶς θυσίαν;
ἆρ' οὐχὶ κἀμὲ συγκλιθῆναι μετρίως
γνώμης ὑπενδοῦναί τε τῆς ἀνενδότου;
καὶ μᾶλλον ἀκούσαντα πολλῶν ἐν μέσῳ,
ὡς ἢν ὑπεισέλθοιμι τὴν λειτουργίαν,
πᾶσαν προσαγάγοιμι χειραγωγίαν
ἐκκλησίαις λαῷ τε καὶ κληρουμένοις;
οὐκοῦν ἀνοίξας τὰς πύλας τῶν ὠτίων,
ἐμαυτὸν ἐκδέδωκα δυσμενεῖ φίλῳ,
μοχλῷ κραταιῷ τειχοσείστῃ χρωμένῳ
τῷ τῆς ταπεινότητος ἰσχυρῷ κράτει,
τείχη Σεμιράμεια θραύειν εἰδότι,
κρίνας καθ' αὑτόν, εἴ τι δεῖ πεπονθέναι
φέρον πρὸς ὠφέλειαν ἀνθρώπων, φέρειν,
Παύλου ποθοῦντος δυσσεβῶν δοῦναι δίκας
ἀλλοτριωθῆναί τε χριστολατρείας,
εἰ τὰ στίφη σῴζοιντο τῶν ὁμογνίων·
πρὸς δὲ σκοπήσας, μὴ Θεοῦ τοῦτο κρίσις,
καὶ τῆς ἀπειθείας με ποινὴ προφθάσῃ·
τὸ γὰρ καθῆκον εὐλαβεῖ καταστάσει
καὶ τὴν πρέπουσαν συστολὴν καὶ δειλίαν
τηρῶν ἐδείχθην τοῦ προσήκοντος πλέον.

**219** *μικροῦ] = μικροῦ δεῖν* **230** Jes. 10,9 **232** *Ἀγαμεμνόνειος θυσία* Paroem. Gr. I, 13 **243** Paroem. Gr. II, 670

**229** *ἐπ'* Sykutris : *ἐξ* V **245** *φέρον* Sykutris: *φέρων* V **253** *τηρῶ* V: corr. equidem



Οὕτω διῄτων τοῖν φόβοιν ἑκατέροιν,
τῷ τῆς ἀπειθείας τε καὶ τῷ τοῦ θράσους,
τὰ πρῶτα τούτῳ προστεθεὶς αὐθαιρέτως,
ἐς ὕστερον δὲ δοὺς ἐκείνῳ τὸ κράτος
ὑπέρτερον τούτου τε θεὶς ἐξαιρέτως.
τούτοις πτερωθεὶς τοῖς λόγοις ὡς ἱστίοις,
Πατρὸς καταρτίζοντος ἐν καλῳδίοις,
Υἱοῦ παρεδρεύοντος ἐν πηδαλίοις,
τοῦ Πνεύματος πνέοντος ὡς ἐξ οὐρίας,
εὐθὺ πλέειν ὥρμησα τῆς τῶν Κυπρίων.
εὐθυπλοήσας τοιγαροῦν κατ' ἐλπίδας
(καὶ πῶς δ' ἂν οὐχὶ σχὼν ἀρίστους ναυτίλους;)
ἐλλιμενίζω τῷ δεκαταίῳ φάει
καὶ νῆσον εἶδον, κόσμον οὐ κόσμου μέρος,
ἧς ἐντὸς ἡ σύμπασα κοσμικὴ χάρις,
ὃ τῆς θυγατρὸς τοῦ βασιλέως κλέος,
νῆσον μάκαιραν, οὐχὶ νῆσον μακάρων·
πέδον μὲν ἠλύσιον, οἶκον δ' ἀθλίων,
ἐκτὸς θαλάσσης ἐκροαῖς κυκλουμένων,
ἐντὸς δ' ἀφύκτοις συμφοραῖς στενουμένων.
οἱ γὰρ λαχόντες τὰς ἐκεῖ κατοικίας,
ταλάντεροι μένουσι καὶ τοῦ Ταντάλου,
νίκας ἀεθλεύουσι τὰς τῶν Ἀρκάδων·
ἀμῶντες οὐκ ἔσθουσιν, ὢ κενοῦ κόπου!
τρυγῶντες οὐ πίνουσιν, ὢ πικροῦ πόνου!
ἔχοντες οὐκ ἔχουσιν, ὢ πλούτου ξένου
πράκτορσιν ἀλάστορσι συντηρουμένου!
τὰς χεῖρας εὐρύνουσιν ὡς Ἅδου στόμα,
χαλῶσιν ἀμφίβληστρα μέχρι πυθμένος,
ὡς μηδὲν αὐτοὺς μηδὲ μικρὸν ἐκφεύγῃ.
Ἐπεὶ δ' ὑπῆλθον τοῦ ζυγοῦ τὸ φορτίον,
ἄλλοις ὃν εὐάγωγον ἐξ εὐανδρίας,
ἐμοὶ δὲ δυσβάστακτον ἐξ ἀνανδρίας,
βάπτισμα Χριστοῦ καὶ ποτήριον πάθους,

**269** hunc versum non plane intelligo **275** Paroem. Gr. I, 161 **276** *Ἀρκάδας μιμούμενος* Paroem. Gr. I, 47 **287** Marc. 10,38

**262** *ἐξουρίας* V **270** *μάκαραν* V

*σωτήριον μὲν ἀλλὰ πικρίας γέμον,*
*καθάρσιον μὲν ἀλλὰ καὶ καταφλέγον*
*(εἰ καὶ φορητὸν τοῖς Ζεβεδαίου τέκνοις,*
*ὅσους θρόνων θέλγουσιν αἱ προεδρίαι),*
*ἐμῆς ἐπιστὰς φυλακῆς τῷ χωρίῳ*
*πέτρᾳ τε προσβὰς ἀκρογώνου τειχίου*
*ἀπεσκόπευσα πῶς τὰ τῆς χώρας ἔχει,*
*οἱ ποιμένες πῶς τῶν Θεοῦ προβατίων,*
*ὁ λαὸς ὁ κλῆρός τε τὸ Χριστοῦ λάχος,*
*αἱ τῶν μοναχῶν ἀγέλαι τῶν ἐνθάδε,*
*ἅπαν τὸ συμπλήρωμα τῆς ἐκκλησίας·*
*τὸν γὰρ στρατηγήσοντα δεξιωτάτως*
*ἐπισκοπεῖν δεῖ καὶ καταρτίζειν ἅμα*
*καὶ στρατιώτας, πρὸς δὲ καὶ στρατηλάτας.*
*Καὶ πρῶτον εἶδον (ἥλιε, στύγναζέ μοι!*
*ἁμαρτίαν εἶδον γὰρ ὑπὸ σὸν φάος)*
*Ἀραβικοὺς ἕλκοντα λύκους ποιμένα*
*καὶ πρὸς φθορὰν νύττοντα τὴν τῶν ποιμνίων·*
*ἐκκλησίας πρόεδρον ἱλαστηρίου*
*πονηρίας ἔξαρχον ἐργαστηρίου,*
*τοὺς ἀγρίους κρίνοντα τρισμακαρίους,*
*τοὺς μετρίους γράφοντα φεῦ! τρισαθλίους·*
*τὸν ἱεράρχην καὶ τελωνάρχην μέγαν,*
*δοῦλον Μαμωνᾶ τοῦ Θεοῦ τὸν ἱκέτην,*
*λογοπραγοῦντα τοὺς πικροὺς φορολόγους,*
*(ὧν μηδ᾽ ἐπακούσαιμι φωνῆς εἰσέτι!)*
*καὶ τοὺς ὑπερφέροντας ἐξ ἀπληστίας*
*εἶναι γράφοντα χερσὶν ἠθῳωμένους*
*κεκαθαρισμένους τε καὶ τῇ καρδίᾳ·*
*τοὺς δ᾽ αὖ διαρπάζοντας οὐχ ὑπὲρ μέτρον*
*ξιφιδίῳ πλήττοντα τῷ γραφιδίῳ*
*κἀντεῦθεν αὐξάνοντα τὴν ἀδικίαν·*
*τὸν σύμμαχον θήγοντα δυσμενῶν ξίφη,*
*τὸν ποιμένα στέργοντα ποιμνίου λύμην,*
*καὶ τοὺς ὀδόντας ὀξύνοντα τῶν λύκων.*
*τούτῳ παρῄνουν ὡς πατὴρ τῷ τεκνίῳ:*
*—«Ἀρχιερεὺς σύ, γνῶθι τὴν σὴν ἀξίαν·*
*τῶν ἱερῶν φρόντιζε πραγμάτων μόνων.*

**290** Marc. 10,37 **311** Matth. 6, 24-25



*ἐπίσκοπος σύ, μὴ λύκους ἐπισκόπει·*
*ἐπισκοπῶν δὲ τὴν καλὴν ἐκκλησίαν*
*τοὺς λυμεῶνας καὶ φθορεῖς κατασκόπει.*
*ποιμὴν ἐκλήθης θρεμμάτων Θεοῦ φύλαξ,*
*θηρῶν διώκτης, οὐκ ἀλείπτης θηρίων·*
*λυκοκτόνος φαίνοιο, μὴ λυκοτρόφος.*
*χωρὶς Μυσῶν γίνωσκε καὶ Φρυγῶν ὅρη·*
*ἄλλη δίαιτά, φησιν, οἷς ἄλλος βίος.*
*οἱ κοσμικοὶ πράττουσι κοσμικὰ πράγη,*
*ὁ πνευματικὸς πνευματικὰ συγκρίνει.*
*γραφὴ κριτὴν καλεῖ σε τῆς ἀδικίας,*
*οὐχ ὡς ἐπικρίνοντα ταῖς ἀδικίαις,*
*ἀλλ᾽ ὡς κατακρίνοντα τὴν ἀδικίαν·*
*καὶ πῶς δικαιοῖς τοὺς ἀδικοῦντας πλέον,*
*τοὺς μετριωτέρους δὲ καὶ κατακρίνεις;*
*τοίχων ἀλείπτας ἐξαλείφεσθαι λόγος.*
*πτοοῦ, πτοοῦ μοι τὴν ἀπειλὴν ὡς φλόγα.*
*ἅλις δρυὸς γεύοιο τῆς εὐκαρπίας·*
*κόσμον λιπὼν γένοιο τῆς ἐκκλησίας».*
*Τούτοις ἐπῆγον ὀρθότητα κανόνων,*
*ἀποξεόντων ἐξοχὰς λοξοῦ ξύλου,*
*καὶ πᾶν ἀδιόρθωτον ὠθούντων ἄπο,*
*τῇ λυδίᾳ κίβδηλα χρυσία κρίνων*
*καὶ σπάρτον ἄγων, ὡς λόγος, πρὸς τὸν λίθον.*
*ἀλλ᾽ ἦν περιττὸς σκαμβὸν εὐθύνων ξύλον*
*δεικνύς τε πλήρη τὴν χύτραν ποικιλμάτων*
*καὶ βάτραχον ζῆν ἐκτὸς ἕλκων τελμάτων.*
*δέον γὰρ ἐλθεῖν εἰς συναίσθησιν μόλις*
*τὸν νήπιον νῷ καὶ γέροντα τῷ χρόνῳ*
*(αἰσθήσεως γῆρας γὰρ εἶπέ τις χρόνον),*
*ὁ δὲ προσελθὼν τῷ κρατοῦντι τῷ τότε,*
*τῷ τοῦ σκότους ἄρχοντι καὶ τῶν ἐν σκότει*
*(Βεελζεβοὺλ εἴποι τις ἀρχῷ δαιμόνων),*
*τοῦτον καθ᾽ ἡμῶν συγκινεῖ μετὰ θράσους,*

**332** *χωρὶς τὰ Φρυγῶν καὶ Μυσῶν ὁρίσματα* Paroem. Gr. II, 730 **333** *ἄλλη δίαιτα ἄλλος βίος* Paroem. Gr. I, 7 **341** Ezec. 13,14 **343** *ἅλις δρυός* Paroem. Gr. I, 42 **348** *Λυδία ἐλέγξει τὸ κίβδηλον* Paroem. Gr. I, 357 **349** *λίθος ποτὶ σπάρταν* Paroem. Gr. II, 775 **350** *ξύλον ἀγκύλον οὐδέποτ᾽ ὀρθόν* Paroem. Gr. I, 284 **351** *χύτρας ποικίλλειν* Paroem. Gr. I, 187 **355** *τις]* quisnam?

πυρίπνοον χίμαιραν ἀμαιμακέτιν,
τὴν αἱματωπὸν καὶ δρακοντώδη κάραν,
τὴν ἀγριωπὸν ἀκρατῶς γαυρουμένην,
πνέοντα θυμοῦ καὶ χέοντα τὰς ὕβρεις,
ἀφροὺς ἀποπτύοντα τῆς ἔνδον ζάλης
τοὺς μὴ παραθραύοντας ἑδραίαν πέτραν,
Ἀσσυρίων ἄνακτα, νοῦν ἀλαζόνα,
ἢ μὴν ἀπειλήσαντα (τῆς κακουργίας!)
ἀρεῖν, καθάπερ ᾠὰ παρερριμμένα,
κληρουχίαν ἅπασαν ἱεραρχίας
ὡς νοσσιὰς θεῖναί τε τὰς ἐκκλησίας.
ὃ δῆτα καὶ δέδρακεν. ὑπνοῖς, ὦ Δίκη,
καὶ τὴν πονηρὰν ῥάβδον ἀφίης ἔτι
ἐμφιλοχωρεῖν τῷ λάχει τῶν ἁγίων;
οὐ τὴν κεφαλὴν τοῦ δράκοντος συντρίβεις;
οὐ βρῶμα τοῦτον Αἰθίοψιν ἐκδίδως;
οὐκ ἐξανιστᾷς Δανιὴλ καὶ νῦν νέον
ξίφους ἄνευ ῥήξοντα τοῦτον καὶ ξύλου;
Τοῦτ' οὖν πιὼν πέπωκα πρῶτον ταχέως,
ποτηρίου γέμοντος ὀργῆς τρυγίαν.
τὸ δεύτερον δὲ καὶ πάλιν ποιμὴν λύκος,
μᾶλλον δὲ ποιμὴν καὶ περικνίζων λύκον·
ἡ γὰρ καταφρόνησις ἐνθέων νόμων
ἐξῆλθεν, ὡς ἔφη τις, ἐκ πρεσβυτέρων.
τῶν οὖν ἐκεῖ τις ἱεραρχῶν Κυρίου,
κοσμεῖν ἀφεὶς δείλαιος ἴδιον λάχος
καὶ προσκαθῆσθαι τῷ θρόνῳ τῆς ἀξίας,
παραστάτης ἦν ἐν θρόνοις ἐξουσίας
τὼ χεῖρε δεσμῶν δεσπότης ὡς οἰκέτης,
καὶ προσπεπαττάλευτο τῷ πραιτωρίῳ
καὶ συνδιημέρευε τῷ στρατηγίῳ
καὶ συμπαρηδρίαζε τῷ κριτηρίῳ,
τὸ παρασιτεῖν ἐκμαθὼν ὁ γεννάδας.
καὶ παριδὼν μέθεξιν ἠοῦς ὀργίων,
ὑφ' ὧν τελοῦνται τέκνα φωτὸς ἐνθέου,
κοινωνὸς ἦν μάλιστα νυκτὸς ὀργίων,
ἀφ' ὧν τινες τίκτουσιν ἔργα τοῦ σκότους.

**368-370** Jes. 10,14 **374** Ps. 73, 13-14 **380** *λύκος ποιμὴν* Paroem. Gr. II, 513 **383** *τις]* nescio **393** *ἠοῦς ὄργια* est quod alias *ὄρθρος* dicitur



συνευδοκῶν τε ταῖς ἀθεσμοπραγίαις,
πρὸς ἡδονὴν πλείω τε τῶν φιληδόνων,
ἐπὶ τραπεζῶν κεκραγὼς ἀσχημόνως
τὰς ἀκοὰς ἔθελγε τῶν δαιτυμόνων
ᾠδαῖς περισσαῖς λιγυραῖς κεχρημένος,
πολλοὺς συνῳδοὺς βακχικοὺς κεκτημένος·
οἷς συμμελῳδῶν καὶ διδάσκων συμπνέειν,
τείνων χαλῶν τε τοῦ μέλους τὰς ἡνίας,
ὡς μὴ παραδράμοιεν ἐκ συμφωνίας,
τοὺς δακτύλους κλῶν πρὸς ῥοπὰς τῶν ᾀσμάτων,
ὑποκροτῶν τε τοῖν ποδοῖν ὡς κυμβάλοιν,
ἄσεμνός τις ἦν ἐκμανὴς Βάκχος νέος,
† ὕις βοῶν ἄτις τε τὰ Διονύσου †
κραυγὰς ἀσήμους καὶ βοὰς ἀγραμμάτους,
εὔσχημον οὐδὲν οὐδὲ σεμνὸν ἐκφέρων
οὐ χερσίν, οὐ κόμαισιν, οὐ ποδῶν βάσει,
χοροῦ Σατύρων εὐφυὴς χοροστάτης,
παίζων τὰ παικτὰ ταῦτα κἂν ἐκκλησίαις.
τούτῳ μέλει μὲν ὄντι τῆς ἐκκλησίας,
τετραυματισμένῳ δὲ παραπληξίᾳ,
προσῆγον ἃ προσῆκεν εἴδη φαρμάκων,
μάλαγμα, κατάδεσμον, ἄλλα τοιάδε·
λόγους προσηνεῖς, ἁπαλὰς παραινέσεις.
τῶν τραυμάτων δὲ τοῦ κακῶς πεπονθότος
ὀδωδότων οἴκτιστα καὶ σεσηπότων,
καῦσιν προσῆξα καὶ τομὴν τὴν μετρίαν
(τὴν ἐκτομὴν γὰρ εἰσέτι παρεκράτουν
μόνοις προσαρμόζουσαν ἀπεγνωσμένοις):
πρὸς καιρὸν ἐξήνεγκα τῆς ἐκκλησίας,
ἀφ' ἧς ἀφηνίασεν ἐν παρρησίᾳ,
καταφρονοῦντα τῶν Θεοῦ μυστηρίων,
ἀσχημονοῦντα κἂν δόμοις εὐκτηρίοις
καὶ συμπαρεδρεύοντα κωμαστηρίοις.
τοῦτον δ' ὁ παμβέβηλος ἄρχων δαιμόνων
λαβὼν ἐπεισήγαγεν εἰς ἐκκλησίαν,
δεσμὸν λύων ἄλυτον αὐτοῖς ἀγγέλοις,
ἐμοῦ παρόντος, παρορῶντος τοῦ Λόγου
τοῦ παντεπόπτου, κἂν δοκῇ καὶ καμμύειν.

**412** *καὶ χερσὶ καὶ κόμαισι καὶ ποδῶν βάσει* Paroem. Gr. I, 4: 3

Σῶτερ, διανάστηθι, παῦσον τὴν ζάλην,
μὴ συγκαλύψῃ τὸ σκάφος τρικυμία·
ἕως πότε πνεύσουσι δεινοὶ καικίαι
πρὸς σφᾶς τὸ πᾶν ἕλκοντες ὡσπερεὶ νέφη;
ὦ φιλτέρα κάκωσις ἀγαθωσύνης,
οὐκ ἐκτιλεῖς ἄνθρωπον ἐξωγκωμένον;
οὐκ ἐξαρεῖς ῥίζωμα πικρὸν ἐκ μέσου;
οὐ καθελεῖς ὕψωμα πύργου Χαλάνης;
ἕως τίνος καύχημα κακοῖς καὶ κράτος;
Ἄλλος πάλιν ἥμαρτε τῶν ἐπισκόπων,
καὶ καθυπαχθεὶς ἀκριβεστάτῃ κρίσει
τὴν πικρίαν πέπωκε τὴν τῶν κανόνων,
τῆς ἀξίας ἔκπτωσιν οὐ παρ' ἀξίαν·
ὡς κλῆρον ἦρε τὴν παλαιὰν κατάραν
εἰσδῦσαν ὡς ἔλαιον ἐν τοῖς ὀστέοις
χεθεῖσαν ὡς ὕδωρ τε μέχρις ἐγκάτων·
διάβολον κατεῖδε δεξιοστάτην.
κριθεὶς ἀπῆλθε κατάδικος ἐνδίκως·
ἐπισκοπὴν εἴληφε τὴν αὐτοῦ ξένος,
χήρα κατέστη σύμβιος τούτου νέα,
ἀπωρφανίσθη τέκνα πατρὸς ἀθλίου.
καὶ ποῖα ταῦτα; τίς γυνή; τί τὰ βρέφη;
ἐκκλησία, σύζυγος· ὁ κλῆρος, τέκνα·
ἡ διαθήκης συζυγεὶς ζυγῷ νέας
ἔτικτε παῖδας ἄνδρας ἱερωμένους.
πλὴν ἀλλ' ὑπῆρξεν ἀντιλήπτωρ ἐνθάδε.
μικρὸν σφαλείσης τῆς προφητείας τάχα·
ποῦ γὰρ ἂν εἰς νοῦν ἦλθε τοῦ προηγόρου,
ὡς ἐξελεῖ τις ὃν καθεῖλεν ἡ δίκη,
πράκτωρ τελώνης ἀντιπράξει κανόσιν;
ἀλλ' ἔστιν εἰπεῖν ὡς πάλιν οὐκ ἐσφάλη·
ὁ γὰρ προτείνας χεῖρα τῷ πεπτωκότι
μᾶλλον κατεκρήμνισεν αὐτὸν εἰς βόθρον·
οὐ προστάτης ὤφθη τις, ἀλλ' ἀντιστάτης·
οὐκ ἀντιλήπτωρ, ἀλλὰ καὶ καθαιρέτης.
ὃν γὰρ συνίστα, τοῦτον ἀφίστα πλέον
παρὰ κριταῖς κρατοῦσι τοῖς θείοις νόμοις.
οὐδ' οἶκτον εἰς νοῦν εἶχε τοῦ κατακρίτου,

**442** Jes. 10,9 **449** Ps. 108,18



ἀλλ' ἀντέπραττεν ἀρχιποιμένος κρίσει.
τίς οὗτος; ὁ πρώταρχος ἐν κακεργάταις,
πρώϊμος Ἀντίχριστος ἐκ Δὰν τοῦ γένους,
καθηγεμὼν ἄντικρυς ἀποστασίας.
ἐκεῖνον οὗτος ὁπλίσας ἐξουσίᾳ
τῶν πνευματικῶν ἧς ἔχει πονηρίας
ἐξουσιαστὴν αὖθις (ὢ τολμηρίας!)
τῶν πραγμάτων τίθησι τῆς ἐκκλησίας,
καθαιρεθὲν πταίσαντος ὑψώσας κέρας
καὶ καθελὼν ὕψωμα κανόνων κέρως.
Ἰλιγγίασας, ἀκροατά, πρὸς τάδε;
ἀλλ' ἂν διεξέλθοιμι καὶ προσωτέρω,
τάχ' ἂν βαρυνθῇ καὶ ποδῶν ἡ σὴ βάσις,
κἂν Χριστὸς οὐ δῷ χεῖρά σοι ποδηγέτιν,
εἰς πόντον εὐθὺς ἐμπέσεις ἀπιστίας.
ἐγὼ δὲ καὶ σοῦ τὸ πλέον πεφεισμένος
καὶ τοῦ κόρου φεύγων δὲ τὴν ἀηδίαν,
ἐπιδρομάδην μικρά σοι φράσω γράφων.
ἴσως τι κερδίσειας ἐκ τούτων μέγα·
τὰς σάρκας ἕψων τῆς ἐχίδνης ὡς δέον
ἰὸν ἐχίδνης ἀντιφάρμακον λάβῃς,
αὐτός τε φεύξῃ συμβαλεῖν τῷ θηρίῳ,
καὶ τοῖς φίλοις σύμβουλος ἐκ φυγῆς ἔσῃ
καὶ τὸν βλαβέντα καὶ φυγόντα τὴν βλάβην
πληγέντα καὶ λαβόντα νοῦν ἁλιέα
οὐκ αἰτιάσῃ τῆς ματαιοβουλίας,
«Ῥεχθὲν δ', ἐρεῖς, ἔγνωκε νήπιος μόνος».
εἰ δ' ἄρα καὶ δύναιο τὰς φύσεις τρέπειν
ἢ φαῦλα γηράσαντα παράγειν ἔθη
καὶ τὴν πονηρὰν ἐκξύειν λεβηρίδα
ἢ κἂν κολάζειν τοὺς τρισαλιτηρίους,
τὸν ὀρθόπουν δράκοντα τῆς πονηρίας,
οὗ νεῦρον ὁ τράχηλος ἐκ σιδηρίου,
ἕρποντα καὶ λείχοντα δείξεις τὴν κόνιν,
πτέρνης σκοπευτὴν τὸν φονευτὴν τοῦ γένους,
καὶ τὸν τραχὺν τράχηλον ὡς κρίκον κλίνεις,
εἶτ' ἀντὶ Σαύλου Παῦλον ἐργάσῃ νέον,

**482** Ps. 74,5 **487** Matth. 14,26-34 **499** Hom. P 32. Paroem. Gr. I, 372
**505** Jes. 48,4 **508** Jes. 58,5 **509** Act. 9,4

*Παῦλον μαθητῶν τὸν πρὶν ἄγριον σάλον,*
*εἶτ' οὖν Ἐλύμαν ἐκτυφλώσεις ὡς λύμην*
*καὶ Φαραὼ τύραννον εὐθὺς ποντίσεις*
*καὶ πάντα φαῦλον ἄνδρα προσρίψεις ἄφνω*
*φάραγξι πετρῶν ἢ φάρυγξι θηρίων.*
*ἀλλ', ὦ φίλος, τέτλαθι τὴν βδελυγμίαν,*
*ὡς ἂν διαγνῷς τὴν ἐμὴν καχεξίαν,*
*καὶ δυσφόρως φέροντι τὴν ἀρρωστίαν*
*συγγνωμονήσῃς τῆς ἀκαρτερησίας,*
*ἂν δ' ᾖς ἰατρός, χαρίσῃ σωτηρίαν,*
*εἰ δ' οὐ σθένεις, δώσῃς τι παραμυθίας.*
*Ἀνὴρ ἀφεὶς κόσμον τε καὶ καρεὶς κόμην*
*μονῇ μοναστῶν προσμένων ἐκαρτέρει·*
*ἔπειτα (βαβαὶ τῶν βελῶν τοῦ Βελίαρ,*
*οἷς τοὺς ἀφράκτους καταβάλλει ῥαδίως*
*πρὸς ἀντιπαράταξιν ἐξωρμηκότας!)*
*μήπω πρὸς ἀκρώρειαν ἐκδραμὼν ὄρους,*
*ὅπως Γομόρρας ἐκπύρωσιν ἐκφύγῃ,*
*ἀπηνθρακώθη τῇ ζέσει τοῦ σαρκίου·*
*καὶ κόσμον ἐκδὺς ἀμφίων τῶν κοσμίων*
*(οἷς καὶ μέλανσις, ἀλλὰ καὶ κάλλος πλέον,*
*ὡς ἡ μέλαινα καὶ καλὴ νύμφη λέγει,*
*ἃ προσφυῶς εἴποι τις ἐκ τῶν πραγμάτων*
*σκήνωμα Κηδὰρ Σαλομῶν δέρρεις ἅμα)*
*ἐνδύεται φεῦ! κοσμικὴν ἀκοσμίαν*
*συμμίγνυταί τε πορνικῷ κορασίῳ,*
*στρατεύεται Καίσαρι τῷ φορολόγῳ*
*ὁ στρατιώτης ἀγαθοῦ βασιλέως.*
*τοῦτον πρόβατον ὄντα πεπλανημένον*
*ἢ βοῦν παροιστρήσασαν, ὡς Ἐφραὶμ πάλαι,*
*εὑρὼν ὑφεῖλκον ἐμβαλεῖν μάνδρᾳ θέλων,*
*ἐξαρπάσας λάρυγγος ἀνθρωποκτόνου.*
*ἀλλ' εἰσπεσών τις αἰχμαλωτίζων ἄφνω*
*τῶν ἀλλοφύλων τῶν δίκης ἀλλοτρίων,*

---

**511** Act. 13, 6-18 **527** Gen. 19,24 **531** Cant. 1,5 **533** Ps. 119,5 **538** Jes. 53,6 **539** Osee 5,12

---

**526** *μήπως* V: corr. Sykutris



*οἷς ἁρπαγή τε καὶ φθορὰ σπουδαστέα,*
*ὡς εἶπεν ὁ πρώτιστος ἀρχιποιμένων*
*ζωὴν περισσείαν τε τῇ ποίμνῃ νέμων*
*(οἶμαι παριστῶν τῇ περισσοῦ προσθέσει,*
*εἰ μὴ περισσόν ἐστι προσθεῖναι τόδε,*
*πλήθους περιττότητα, προσθήκην γόων,*
*ἐπεισαγωγὴν θρεμμάτων ἄλλων νέων)—*
*ἐπεισπεσὼν οὖν τις φθορεὺς αἰφνιδίως*
*ἐκ τῶν ἀγόντων θρέμμα τοὐμὸν λαμβάνει*
*πολλῶν ἐκείνους ἀξιώσας μαστίγων.*
*εἶτα προσῆλθον ἀρχιληστῇ σατράπῃ,*
*τῷ τηνικαῦτα κυριάρχῃ Κυπρίων,*
*ζητῶν τὸ τέκνον, συμπαθεῖς κινῶν λόγους,*
*τῷ βατράχῳ μάταιος οἶνον ἐγχέων*
*καὶ ξηρὸν ὀστοῦν τῇ γαλῇ συνεισφέρων,*
*δέον τὰ κατάλληλα πᾶσι προσφέρειν,*
*τῷ βατράχῳ τὸ τέλμα, τῇ γαλῇ στέαρ,*
*καὶ χρυσίου τάλαντον χερσὶ πρακτόρων.*
*τέως προσῆλθον ἱκέτης Χρύσης γέρων*
*λόγους φέρων ἄποινα καὶ θεῖον στέφος*
*τὸν σταυρὸν ὃν φρίττουσι δαιμόνων στίφη,*
*προπομπὸν ὃν φέρουσι ποιμένες Κύπρου*
*—«Αἰδεῖσθε πρέσβυν πρεσβύτην θύτην, λέγων,*
*φοβεῖσθε τὸν παθόντα τοῦ κόσμου χάριν,*
*ὡς αὐτὸν ἐκσπάσειε κοσμοκρατόρων».*
*Ἀλλ' οὐ μαλάσσει ταῦτα λιθοκαρδίους·*
*Θεοῦ λόγοι βούκεντρα τοῖς κακοτρόποις.*
*οὐκοῦν ἀφῆκε μηδὲ προσχὼν τῷ λόγῳ,*
*κλείσας μὲν ὦτα, πλὴν ἀνοίξας τὸ στόμα,*
*πρὸς ἐμβρίθειαν ἐμβρίμημα δεικνύων*
*—«Ἔα, λέγων, ἄνθρωπον ἐστρατευμένον·*
*οὐ συντελεῖ σοι τοὺς τελεστὰς ἐκφέρειν.*
*οὐκ εἶ φίλος Καίσαρος ἐκφορῶν φόρους.*
*οὐκ εὐτυχήσεις τὴν ἀγραφίου δίκην·*
*τοὺς ἐν βίβλοις ἄνακτος ἐγγεγραμμένους*
*τοῦ Παντάνακτος ἐγγράφεις τῷ βιβλίῳ;»*

---

**557** *βατράχοις οἰνοχοεῖς* Paroem. Gr. I, 53 vel *βατράχῳ ὕδωρ, τῇ γαλῇ στέαρ* Paroem. Gr. I, 225 **560** *γαλῇ στέαρ* Paroem. Gr. I, 230 **562** Hom. A 11 **576** *τὰ τοῦ Καίσαρος* Luc. 20,25 **577** *δίκη ἀγραφίου* Paroem. Gr. I, 380

*Τούτοις ἐπειπὼν «Αὐτὸς ὄψει καὶ μόνον»,*
*εὐθὺς δ' ἀπῆλθον οὐκ ἔχων τί καὶ δράσω.*
*χοίροις ἐπιρρίπτειν γὰρ οὐ χρὴ μαργάρους,*
*μύροις ἐπαντλεῖν οὐ προσήκει βορβόρους.*
*θεὸς δ' ἐμοὶ κύδιστος ὕψιστος μέγας*
*οὐκ ἦν Ἀπόλλων ἐκθερίζων, ἐκθλίβων,*
*οὐδ' ἐκ βιοῦ προύπεμπεν ἐκβιοῦν βέλος·*
*οὐ γὰρ θέλει θάνατον ἡμαρτηκότων,*
*ἐπιστροφὴν μένει δὲ καὶ ζωὴν νέμει.*
*ἀλλ' ἡ καταφρόνησις ἥ τε σκληρότης*
*θησαυρὸν † εὑρὼν ἐντίθησι πικρίας.*
*Τί φῄς; ἀνάσχῃ καὶ πάλιν δυσοσμίας*
*ἢ καταπίπτεις μὴ φέρων τὴν ναυτίαν;*
*ἐμὴν χάριν τέτλαθι τὴν ἀηδίαν·*
*ἐμῶν ἐγὼ γὰρ ἐξεμῶ χυμῶν χύσιν,*
*κουφισμὸν ὡς λάβοιμι καρδίας βάρους.*
*κατεκρίθη τις ἐκ νόμων καὶ κανόνων*
*μονῆς προεστὼς ὡς ἀφεστὼς τῶν νόμων*
*καὶ πραγμάτων ἔκπτωτος ὤφθη καὶ θρόνου,*
*ἄλλος δ' ἐπεσφράγιστο τῇ προστασίᾳ·*
*ὡς οὐκ ἔχων γὰρ τὴν ἐπεξεργασίαν,*
*Θεοῦ καπηλεύσας δὲ φιλοτιμίαν,*
*ἀφῃρέθη τάχιστα τὴν ἐξουσίαν.*
*πλὴν ἐκδιωχθεὶς ἰδίας κατοικίας*
*ὁ τοῦ βεβήλου πνεύματος πεπλησμένος*
*προσλαμβάνει πλείω τε καὶ χείρω πάλιν*
*καὶ θρασέως πρόσεισι τῇ συναυλίᾳ*
*τὰ χείρονα δρῶν τῶν προσυμβεβηκότων.*
*παρασταλεὶς γὰρ οὐδαμῶς ὑπεστάλη,*
*ἀλλὰ προσῆλθε τῷ τελωνείῳ τρέχων*
*κἀκεῖθεν ἐζήτησε τὴν ἐκδικίαν*
*χεῖρας προτείνων χρυσίων πληρεστάτας*
*τῷ τῶν τελωνῶν ἀρχισατράπῃ λάθρα·*
*ὧν ὡς ἐπωφθάλμησε τὴν λαμπηδόνα,*

**580** Matth. 27,5 et 21 **582** Matth. 7,6 **585** Hom. A 43-51

**580** *ἐπεῖπον?* Sykutris || *αὐτὸν* V : corr. Sykutris **590** *εὑρὼν* corruptum: *ἔνδον? εὐρὺν?* Sykutris **594** *ἐξεμῶ* Sykutris: *ἐξ ἐμῶ* V



*τὰς τῶν λογισμῶν ἐξετυφλώθη κόρας*
*καὶ τὰ σκότους ἔπραττεν ὡς νυκτικόραξ,*
*ἐν Κυρίῳ τε μὴ φρονῶν τὴν ἡμέραν*
*μισῶν τὸ φῶς ἦν, οἷα φαύλων ἐργάτης.*
*καὶ συστρατεύει τῷ κακῶς ἡγουμένῳ*
*καὶ καταβάλλει τὸν καλὸν στρατηγέτην,*
*στήσας ὃν ἐξέρριψεν εὐθεῖα κρίσις,*
*ῥίψας δ' ὃν ἐστήριξεν ἡ θεία χάρις·*
*καὶ συμπατήσας τῆς παρ' ἡμῶν σφραγῖδος*
*τὴν μαργαρώδη σταυρικὴν στιλβηδόνα*
*ἔρρηξε τὸν φέροντα ταύτην εὐθέως,*
*ὡς ἐκ δρυμοῦ σῦς ἐκδραμὼν χαυλιώδης.*
*τὸ ῥῆγμα δ' ἦν σκύλευσις ὥνπερ εὐπόρει,*
*καὶ παντελὴς γύμνωσις ἀλλ' οὐκ ἐν μέρει.*
*Τοιαῦτα τὰ τρόπαια τῆς τυραννίδος,*
*οὕτως ἀποτρόπαια καὶ στυγητέα,*
*κἂν ἐκ μεδίμνου κόκκον ἄρτι προυθέμην,*
*κἂν ἐκ τοῦ ἄστρου μικρότατον ἀστρίον,*
*κἂν ἐκ ψαμάθου λεπτότατον ψαμμίον,*
*κἂν ἐκ θαλάσσης κυαθιαῖον μέτρον,*
*κἂν ἐξ ὅλης γῆς σπιθαμιαῖον τόπον.*
*σὺ δ' ἐξ ὀνύχων τὸν λέοντά μοι νόει,*
*ἐκ κρασπέδων ὕφασμα τεκμαίρου μόνων,*
*ἐκ σκυβάλων νόσημα καὶ δυσχυμίαν·*
*οὐ γὰρ δέον με συγχέειν τὰς κοπρίας,*
*ἐπὶ πλέον τε συμφύρειν τὰς σαπρίας*
*καὶ συγκινεῖν, ὅ φασι, τὴν καμαρίναν*
*ἢ συνταράσσειν βορβόρους ὀδωδότας,*
*μὴ καταμιάναιμι καὶ τὸν ἀέρα*
*κατηφιᾶν πείσαιμι καὶ τὸν αἰθέρα,*
*καὶ τὸν φίλον πλήσαιμι βαρυθυμίας.*
*ὡς εἰ καταξάναιμι πάντα κατ' ἔπος,*
*ἄντικρυς Ἡράκλειον ἆθλον ἀνύσω*
*τὴν Αὐγέου δύσοσμον ἐκφέρων κόπρον,*

**625** Ps. 79 (80), 14 **635** Paroem. Gr. I, 252 **640** *μὴ κίνει καμάριναν* Paroem. Gr. I, 123

**618** *κακῷ?* (cf. *καλὸν* V 619) Sykutris **625** *χαυλιώδης* V *χαυλιόδους* vel *χαυλιόδων;* Sykutris **631** *τοῦ ἄστρου* vix sanum? *τῶν ἄστρων?* Sykutris **639** *σαπρίας* Sykutris : *συμπρίας* V **640** *καμαρίναν* V (pro *καμάριναν*) propter metrum

*καὶ συγκινήσω τὸν φιλήκοον φίλον*
*μύσαντα τὴν αἴσθησιν ἀποφυγγάνειν.*
*οὐ γὰρ συνέψῃ καρτερῶς ἕως τέλους,*
*ἄν σοι παραστήσειεν ἀκριβῶς λόγος*
*ἐπισκόπους γέροντας ἠπορημένους*
*ποινηλάταις πράκτορσιν ᾐωρημένους,*
*διακόνους ἄρχοντας ἐσφραγισμένους*
*κωπηλάταις πλέουσιν ἐγγεγραμμένους·*
*τοὺς ἱερεῖς φέροντας εἰσφορὰν φόρων,*
*οἷς τὸ πρὶν ἐχρῆν προσφέρειν μοῖραν βίου·*
*Χριστιανῶν κρατοῦντας Ἑβραίων γόνους,*
*τοὺς σοὺς κολάστας, Σῶτερ ἐσταυρωμένε,*
*τῶν σῶν λατρευτῶν, Υἱὲ τοῦ Θεοῦ μόνε,*
*τὸ πατέρων νῦν ἐκμετρήσαντας μέτρον·*
*ἀρχιεράρχας ὄντας οὕτως ἀθλίους,*
*ὡς μηδὲ τολμᾶν μηδὲ τοὺς κληρουμένους*
*αὐτοῖς προσελθεῖν ὡς κριταῖς θεοκρίτοις,*
*εἰ μὴ πικρῶς μέλλοιεν ἀπολωλέναι.*
*τί φημι τοῦτο; μηδ' ἀποινὶ προσβλέπειν,*
*φεύγοντας οὕτως ὡς μηδὲ προσεννέπειν.*
*σκευῶν ἀχράντων ἁγίων ἀφαιρέσεις,*
*Ξύλων ἀναιδεῖς Τιμίων διαιρέσεις,*
*χρήσεις βεβήλους τῶν ἀφιερωμάτων,*
*τὴν Βαλτάσαρ ἄθεσμον ἐμπαροινίαν,*
*σεπτῆς τραπέζης καθαρὰς κυαθίδας*
*κοινῆς τραπέζης μυσαρὰς παροψίδας,*
*τελωνικὰς χεῖρας δὲ καὶ μιαιφόνους*
*τελεστικαῖς τε χερσὶ καὶ καθαρσίοις*
*πρὸς ἁρπαγὴν βιαίαν ἐμβεβλημένας,*
*ἔπειτα παντάπασιν ἠθωωμένας,*
*ἀνατραπείσης τῆς σοφῆς παροιμίας·*
*τοὺς παμπονήρους νῦν Ἰουδαίους νέους,*
*ὅσους ἂν εὑρήσωσιν Ἰούδα φίλους,*
*κινοῦντας αὐτοὺς κατὰ τῶν διδασκάλων,*
*κατηγόρους μὲν τῶν Θεοῦ συνηγόρων,*
*συνηγόρους δὲ τῶν Θεοῦ κατηγόρων,*
*ἱστῶντας αὐτοῖς ἀργύρια μυρία,*

**671** Dan. 5,2 **678** *παροιμίας]* proverbium mihi ignotum **680-84** Matth. 26,14 et 27,3



*κἂν κατατοξεύωσιν οἰκείας κάρας*
*κατ' ἀστέρος βάλλοντες ἢ κατ' αἰθέρος,*
*κἂν εἰς βόθρους πίπτουσιν ἰδίου πόνου,*
*κἂν συγκινῶσιν εἰς ἑαυτοὺς τοὺς λίθους,*
*κἂν ἀκονῶσι καθ' ἑαυτῶν τὰ ξίφη,*
*κἂν καταλαμβάνοιντο τοῖς αὐτῶν πτίλοις,*
*κἂν αἶγες ὦσιν ἐξάγουσαι καινίδας,*
*κἂν αὐτόχρημα Βελλεροφόνται νέοι*
*τῶν καθ' ἑαυτῶν εἰσκομισταὶ γραμμάτων·*
*οὓς γὰρ παρεισάγουσιν ὡς πιστευτέους*
*αὐτῶν κατακράζουσιν ἐξ ἀντιστρόφου,*
*Θεοῦ μετακλώθοντος εὐθεῖ δακτύλῳ*
*τὴν τῶν λόγων ἄτρακτον οἷς οἶδε τρόποις·*
*ἡμῶν ἀπόντων ἐν Κύπρῳ κρατουμένων*
*τῷ λαβυρίνθῳ τῷ δυσεκπορευτέῳ,*
*τῇ τῆς ἀμειδοῦς Ἀττικῆς πέτρας ἕδρᾳ*
*καὶ τοῖς ἐκεῖσε προσπεπατταλευμένων,*
*ὡς ἐξορίστων δεσμίων κατακρίτων*
*κλαυθμῶνος ἂν φαίη τις ἐν τῇ κοιλάδι*
*κευθμῶνος ἐν σήραγγι τοῦ κατωτάτου,*
*Ἅδου πεταύρῳ, Ταρτάρου τῷ πυθμένι,*
*τῆς ἐκλελησμένης τε γῆς τῇ λαγόνι,*
*ἀφ' ὧν ἀνελθεῖν οὐκ ἔνεστιν οὐδένα.*
*τὸ χάσμα καὶ γὰρ κωλύει τῶν πρακτόρων*
*ἐκεῖθεν ἐλθεῖν τοὺς θέλοντας ἐνθάδε,*
*πρὸς κέρδος αἰσχρὸν εἰς ἀεὶ κεχηνότων*
*ἀμπώτιδός τε καὶ Χαρύβδεως πλέον*
*καὶ πλατυνόντων ὑπὲρ Ἅδην τὸ στόμα,*
*ἡμῶν πολὺν καὶ ταῦτα ναὶ καὶ πολλάκις*
*χρυσίτιδος χοῦν ἐκκενούντων τῷ χάει,*
*Ἄθων ἐκεῖνον ὥσπερ ὁ Ξέρξης ὅλον,*
*ὄρη ταπεινούντων τε καὶ βουνοὺς ἅμα,*
*ὡς ἡ φάραγξ γένοιτο πεπληρωμένη.*
*ἀλλ' οὐδὲ Νῶε νῦν ἐν ἡμῖν ἡ χάρις,*

**687** Eccl. 10,8 **691** *αἲξ τὴν μάχαιραν* Paroem. I, 9 **693** Hom. Z 155 *καθ' ἑαυτοῦ Βελλεροφόντης* vel *Βελλεροφόντης τὰ γράμματα* Paroem. Gr. I, 54 **700** *ἀγέλαστος πέτρα* Paroem. Gr. I, 3 **703** Ps. 83(84), 7 **704** Hesiod. Th. 158 **705** Prov. 9, 18 **711** *τὴν Χάρυβδιν ἐκφυγὼν τῇ Σκύλλῃ περιέπεσον* Paroem. Gr. II, 672 **718** Gen. 8, 6-12

*ὡς ἐκ κιβωτοῦ τῆς περικλύστου Κύπρου*
*περιστερὰς στέλλοιμεν ἀγαθαγγέλους·*
*ἡμῖν γὰρ οὐδ᾽ αἴλουρος ἐκσοβητέος,*
*ἀλλ᾽ ἐκτρέχων τρήρωνας ἁρπάζει λάθρα,*
*κἂν αἰετοὺς λάθωσι τοὺς ὠκυπτέρους,*
*κἂν ἱέρακας ἐκφύγωσι κρυφίως.*
*Πέπονθας, ὡς ἔγνωκα, τὴν ψυχήν, φίλος,*
*ἀκηκοὼς ἄθεσμα διηγουμένου.*
*εἰ δ᾽ ἀκοὴ θόλωσιν ἐμποιεῖ μόνη,*
*πόσην ἂν ἐργάσαιτο θραῦσιν ἡ θέα!*
*εἰ δ᾽ ἡ θέα, σκόπησον ἡ πεῖσις πόσον!*
*ἐν ᾧ δὲ συμβέβηκε ταῦτα τὰ τρία,*
*μαθεῖν ἰδεῖν τε καὶ παθεῖν, οἷος κλόνος,*
*εἰ μὴ προσεγγένοιτο καὶ φυγεῖν ἅμα!*
*ταῦτ᾽ εἶδον αὐτὸς καὶ παθὼν ἐκαρτέρουν,*
*ἅπερ μαθὼν σὺ καρτερεῖν οὐκ ἰσχύεις,*
*ὡς ἐνεὸς δ᾽ ἕστηκας οὐδ᾽ ἐπαΐων,*
*κἂν ἐξεκαρτέρησας ἐξ ἐμπληξίας,*
*εἰ μὴ παρεκράτησα τῆς παρρησίας.*
*ὅπερ τινὲς πάσχουσιν ἐκ βροντῶν κτύπου*
*ἐξ ἀθρόων τε δηκτικῶν ἀκουσμάτων·*
*τοῦ ζωτικοῦ γὰρ πνεύματος συσπωμένου*
*καὶ συστολὴν πάσχοντος ὡς πτοουμένου,*
*ἔκψυξιν ἡ σύνθλιψις ἐσχάτην φέρει.*
*Ἐκαρτέρουν οὖν τὴν διόρθωσιν μένων*
*ἐκ τοῦ κρατοῦντος προσδοκῶν συνεργίαν,*
*ὡς ἐκ Σιὼν δώρημα ῥάβδον ἰσχύος,*
*ποιμὴν καθεύδων ποιμνίῳ μὴ προσβλέπων,*
*πεινῶντα τὰ πρόβατα μὴ κορεννύων*
*μηδ᾽ εἰς ὕδωρ γῆς ἐξάγων μήδ᾽ εἰς χλόην.*
*τὸν δεσπότην γὰρ προσνεμεῖν τῷ ποιμένι*
*καὶ σφενδόνην ἤλπιζον ἀλλὰ καὶ λίθους,*
*δι᾽ ὧν ἂν ἐκτρέποιμι τοὺς πόρρω λύκους,*
*καὶ ῥάβδον ὡς πλήττοιμι καὶ τοὺς ἐγγύθεν,*
*ὡς ἄρκτον ἢ λέοντα Δαυῒδ συντρίβων,*
*τοὺς καθυλακτοῦντας δὲ φύλακας κύνας,*
*τοὺς πνεύματι σφύζοντας ἐμπύρῳ λόγους,*
*στερραῖς ἀκωκαῖς ὁπλίσαι σιδηρίων*

**744** Ezec. 9,14 **747** Ps. 22,2 **752** I. Reg. 17, 34-36



*τῶν ἀμφὶ τὸν τράχηλον, ὃν δάκνει λύκος*
*τὴν τραχύτητα τοῦ λόγου καταξέων.*
*εἰ δ᾽ ὑπερισχύσειε καὶ καταπ..... χων*
*ἥνπερ κραταιότατα καθοπλιστέον*
*τῷ μανιάκῃ τῷ περιτραχηλίῳ,*
*στερεμνίως ἔχοντι τοῖς σιδηρίοις*
*καὶ κατατιτρώσκοντι τοῖς ξιφιδίοις,*
*ὃς τὸν καθυλάσσοντα φυλάσσει κύνα*
*καὶ τοὺς ἐπεμβαίνοντας ἐκτέμνει λύκους.*
*ἀλλ᾽ ἐψάλασσον εἰς κενὸν νευρᾶς κτύπον,*
*ἐκιθάριζον παρὰ κωφοῖς ὠτίοις·*
*ἅμμας ἀπῄτουν, οἱ δ᾽ ἀπηρνοῦντο σκάφος,*
*ἄγραν λαβεῖν ἤλπιζον ἐντὸς δικτύων,*
*ἡ δ᾽ ἐλπὶς ἦν ὄνειρος οὐ κοιμωμένου*
*καταισχύνουσα γρηγόρους κοιμωμένους.*
*Ὡς οὖν ἐπέγνων εἰς ἀνήνυτα τρέχων,*
*γράφων καθ᾽ ὑγρῶν, πυγμαχῶν εἰς ἀέρα,*
*Ὕλαν καλῶν ἄντικρυς ἠφανισμένον,*
*τοῦ θάρσος ἡμῖν ἐμβαλεῖν καλουμένου*
*κράτος περιζῶσαί τε προσδοκωμένου*
*ἐπεμβοῶντος εὐμενῶς τοῖς θηρίοις,*
*ἐπεγγελῶντος εὐχερῶς τοῖς ποιμέσιν,*
*ἐπεντρυφῶντος τῇ φθορᾷ τῶν ποιμνίων,*
*ὁρῶντος ἡμᾶς καρχάροις κεκαρμένους,*
*ταῖς τῶν ὀνύχων ἀμυχαῖς ἠμαγμένους,*
*καὶ μὴ καθοπλίζοντος ὅπλοις ἰσχύος,*
*ὄντος καθ᾽ ἡμῶν οἷς καθ᾽ ἡμῶν οὐκ ἔνι,*
*ἔφην ἐμαυτῷ· «Σῶζε σαυτόν, ὦ τάλα,*
*μὴ συμφθαρῇς οἴκτιστα σὺν τῷ ποιμνίῳ·*
*ἄοπλος ὤν, ἄθλιε, θηρσὶ συμπλέκῃ;*
